# ARCHILOCO

Εἰμὶ δ'ἐγὼ θεράπων μὲν Ἐνυαλίοιο ἄνακτος
καὶ Μουσέων ἐρατὸν δῶρον ἐπιστάμενος

Metro: distico elegiaco. Fonti: Ateneo XIV, 627c; Plutarco, *Focione* VII, 6; Temistio, *Or*. XV, 185b

Ἐν δορὶ μέν μοι μᾶζα μεμαγμένη, ἐν δορὶ δ'οἶνος
Ἰσμαρικός, πίνω δ'ἐν δορὶ κεκλιμένος

Metro: distico elegiaco. Fonti: Ateneo I, 30; Sinesio, *Ep*. 129b.

ἀλλ'ἄγε σὺν κώθωνι θοῆς διὰ σέλματα νηός
φοίτα καὶ κοΐλων πώματ'ἄφελκε κάδων,
ἄγρει δ'οἶνον ἐρυθρὸν ἀπὸ τρυγός· οὐδὲ γὰρ ἡμεῖς
νήφειν ἐν φυλακῇ τῇδε δυνησόμεθα

Metro: distico elegiaco. Fonti: Ateneo XI, 483d; *Pap. Oxy*. 854, VI, 149.

ἀσπίδι μὲν Σαΐων τις ἀγάλλεται, ἣν παρὰ θάμνῳ
ἔντος ἀμώμητον κάλλιπον οὐκ ἐθέλων.
Αὐτὸν δ'ἐξεσάωσα. Τί μοι μέλει ἀσπὶς ἐκείνη;
ἐρρέτω· ἐξαῦτις κτήσομαι οὐ κακίω

Metro: distico elegiaco. Fonti: Aristofane, *Pace* 1296 sgg; Sesto Empirico, *Pyrrhon. Hypotyp*. III, 216; Plutarco, *Lac. Inst*. XXXIV, 329b; Strabone X, 2, 17; XII, 3, 20.

Κήδεα μὲν στονόεντα, Περίκλεες, οὔτε τις ἀστῶν
Μεμφόμενος θαλίῃς τέρψεται οὐδὲ πόλις·
τοίους γὰρ κῦμα πολυφλοίσβοιο θαλάσσης
ἔκλυσεν· οἰδαλέους δ᾽ἀμφ᾽ὀδύνῃσ᾽ἔψομεν
πνεύμονας. ἀλλὰ θεοὶ γὰρ ἀνηκέστοισι κακοῖσιν,
ὦ φίλ᾽, ἐπὶ κρατερὴν τλημοσύνην ἔθεσαν
φάρμακον. ἄλλοτέ τ᾽ἄλλος ἔχει τάδε· νῦν μὲν ἐς ἡμέας
ἐτράπεθ᾽, αἱματόεν δ᾽ἕλκος ἀναστένομεν,
ἐξαῦτις ἑτέρους ἐπαμείψεται. ἀλλὰ τάχιστα

Metro: distico elegiaco. Fonti: Stobeo IV, 56, 30.

ἥδε δ᾽ὥς τ᾽ὄνου ῥάχις
ἕστηκεν ὕλης ἀγρίης ἐπιστεφής.
. . .
οὐ γάρ τι καλὸς χῶρος οὐδ᾽ἐπίμερος
οὐδ᾽ἐρατός, οἷος ἀμφὶ Σίριος ῥοάς.

Metro: esametro. Fonti: Aristotele, *Etica Eudemea* VII, 2, 11, 1236a.

Οὔ μοι τὰ Γύγεω τοῦ πολυχρύσου μέλει
οὐδ᾽εἷλέ πώ με ζῆλος οὐδ᾽ἀγαίομαι
θεῶν ἔργα, μεγάλης δ᾽οὐκ ἐρέω τυραννίδος·
ἀπόπροθεν γάρ ἐστιν ὀφθαλμῶν ἐμῶν

Metro: trimetro giambico. Fonti: Aristotele, *Retorica* III, 17, 1418b; Plutarco, *De tranq. animi* X, 470c.

ἔχουσα θαλλὸν μυρσίνης ἐτέρπετο
ῥοδῆς τε καλὸν ἄνθος, ...
... ἡ δέ οἱ κόμη
ὤμους κατεσκίαζε καὶ μετάφρενα.

Metro: trimetro giambico. Fonti: Ammonio, 123; Sinesio, *Laud.calv*. 75bc.

Τοῖς θεοῖς τιθεῖν ἅπαντα· πολλάκις μὲν ἐκ κακῶν
ἄνδρας ὀρθοῦσιν μελαίνῃ κειμένους ἐπὶ χθονί,
πολλάκις δ᾽ἀνατρέπουσιν καὶ μάλ᾽εὖ βεβηκότας
ὑπτίους κλίνουσ᾽· ἔπειτα πολλὰ γίγνεται κακά,
καὶ βίου χρήμῃ πλανᾶται καὶ νόου παρήορος.

Metro: tetrametro trocaico. Fonti: Stobeo IV, 41, 24.

Οὐ φιλέω μέγαν στρατηγὸν οὐδὲ διαπεπλιγμένον
οὐδὲ βοστρύχοισι γαῦρον οὐδ᾽ὑπεξυρημένον.
ἀλλά μοι σμικρός τις εἴη καὶ περὶ κνήμας ἰδεῖν
ῥοικός, ἀσφαλέως βεβηκὼς ποσσί, καρδίης πλέως.

Metro: tetrametro trocaico. Fonti: Dione di Prusa XXXIII, 17; Galeno, *In Hipp. De art.* III.

δύστηνος ἔγκειμαι πόθῳ
ἄψυχος, χαλεπῇσι θεῶν ὀδύνῃσιν ἕκητι
πεπαρμένος δι᾽ὀστέων.

Metro: distico formato da un esametro dattilico e un dimetro giambico. Fonti: Stobeo IV, 20, 45.